# Σηστός

Ξέρξη ζεῦγμα



« οὔσας δὲ (Ἐρατοσθένης) τὰς μὲν δύο τὰς πρώτας (ἄκρας) (τὴν Στραβ. Β.
ἐφ' ἧς ἡ Ἰβηρία κ. τὴν ἐπὶ τὸν πορθμὸν ἐφ' ἧς ἡ Ἰταλία, καὶ 108
τρίτην τὴν κατὰ Μαλέας κ. Σούνιον ἐφ' ἧς ἡ Ἑλλὰς πᾶσα καὶ
ἡ Ἰλλυρὶς κ. τῆς Θράκης τινά, τετάρτην δὲ τὴν κατὰ τὴν Θρᾳκί-
αν χερρόνησον, ἐφ' ἧς τὰ κατὰ Σηστὸν κ. Ἄβυδον στενά. »

« Κατὰ δὲ ταύτην (τὴν Θρᾳκίαν χερρόνησον) ἐστὶ τὸ ἑπταστάδι- » 124
ον τὸ κατὰ Σηστὸν καὶ Ἄβυδον, δι' οὗ τὸ Αἰγαῖον κ. ὁ Ἑλλήσποντος
ἐκδίδωσι πρὸς ἄρκτον εἰς ἄλλο πέλαγος ὃ καλοῦσι Προποντίδα, κἀ-
κεῖνο εἰς ἄλλο τὸν Εὔξεινον προσαγορευόμενον πόντον. »

« .. εἶθ' ἡ Χερρόνησος ἡ Θρᾳκία καλουμένη, ποιοῦσα τήν τε Προ- » Ζ. 331
ποντίδα κ. τὸν Μέλανα κόλπον κ. τὸν Ἑλλήσποντον· ἄκρα γὰρ 52.
ἔκκειται πρὸς εὐρόνοτον συνάπτουσα τὴν Εὐρώπην πρὸς τὴν
Ἀσίαν ἑπτασταδίῳ πορθμῷ τῷ κατὰ Ἄβυδον κ. Σηστόν, ἐν ἀ-
ριστερᾷ μὲν τὴν Προποντίδα ἔχουσα ἐν δεξιᾷ δὲ τὸν Μέλα-
να κόλπον. »

« καὶ γὰρ δείκνυται κάμψαντι τὴν ἄκραν τάφος αὐτῆς » » 56
(Ἑκάβης) εἶτα Μάδυτος κ. Σηστιὰς ἄκρα, καθ' ἣν τὸ Ξέρξου
ζεῦγμα καὶ μετὰ ταῦτα Σηστός. ἀπὸ δὲ Ἐλαιοῦντος ἐπὶ τὸ ζεῦγμα ἑκα-
τὸν ἑβδομήκοντα. μετὰ δὲ Σηστὸν ἐπὶ Αἰγὸς ποταμοὺς διακόσιοι ὀγδοήκοντα. »

# Σηστός.



Στρ. ΙΓ. 581 « Από δη της Κυζικηνής και των περί Αίσηπον τόπων και
Γράνικον μέχρι Αβύδου και Σηστού την της Προποντίδος
παραλίαν είναι συμβαίνει, από δε Αβύδου μέχρι Λεκτού τα πε-
ρί Ίλιον και Τένεδον και Αλεξάνδρειαν την Τρωάδα. »

〃 584 « είρηται δε εν τοις έμπροσθεν, ότι τοις εκ Βυζαντίου πλέου-
σι προς νότον επ' ευθείας εστίν ο πλούς, πρώτον επί Ση-
στόν και Άβυδον δια μέσης της Προποντίδος, έπειτα της
παραλίας της Ασίας μέχρι Καρίας. »

Σηστος. Θρακες εν Αβυδω



«Τοις δ' εξ Αβύδου περαιουμένοις παραλεκτέον εστιν εφ' θάλαν- Στραβ. 13ο
τία οκτώ που σταδίους επι πύργον τινα καθ' αντικρυ 591.
της Σηστου, έπειτα διαίρειν πλάγιον και μη τελέως
εναντίον έχουσι τον ρουν, ώκισαν δε την Αβυδον μετα
τα Τρωικα Θρακες, είτα Μιλήσιοι· των δε πόλεων
εμπρησθεισων υπο Δαρείου του Ξέρξου πατρος των
κατα την Προποντίδα, εκοινώνησε και η Αβυδος
της αυτης συμφορας.
περι δε Σηστου και της όλης Χερρονήσου προείπο-
μεν εν τοις περι της Θράκης τόποις. φησι δε την
Σηστον Θεόπομπος βραχειαν μεν ευερκη δε, και
σκέλει διπλέθρω συνάπτειν προς τον λιμένα, και δια
ταυτ' ουν και δια τον ρουν κυρίαν είναι των παρό-
δων

## Σηστός (ἡ, ὁ) Σηστιὰς ἄκρα.

52. ὅτι ἡ Χερρόνησος ἡ Θρᾳκία καλουμένη, ποι- Στράβων
οῦσα τήν τε Προποντίδα καὶ τὸν Μέλανα κόλπον Ζ. Σελ. 469.
καὶ τὸν Ἑλλήσποντον ἄκρα γάρ ἐστιν ἐκκειμένη πρὸς εὐρόνοτον, συνάπτουσα τὴν Εὐρώπην πρὸς τὴν Ἀσίαν ἑπταστάδιον πορθμὸν τὸν κατὰ Ἄβυδον καὶ Σηστόν, ἐν ἀριστερᾷ μὲν τὴν Προποντίδα ἔχουσα ἐν δεξιᾷ δὲ τὸν Μέλανα κόλπον.

56 Ἔστι δ' ἐν τῷ περίπλῳ ἤδη τῷ μετὰ Ἐλαιοῦντα " 470.
ἡ εἰσβολὴ πρώτη ἡ εἰς τὴν Προποντίδα διὰ τῶν στενῶν . . . . . . ἐνταῦθα δ' ἐστὶ τὸ Κυνὸς σῆμα . . . . . . . εἶτα Μάδυτος καὶ Σηστιὰς ἄκρα, καθ' ἣν τὸ Ξέρξου ζεῦγμα, καὶ μετὰ ταῦτα Σηστός. ἀπὸ δὲ Ἐλαιοῦντος ἐπὶ τὸ ζεῦγμα στάδιοι ἑβδομήκοντα· μετὰ δὲ Σηστὸν ἐπὶ Αἰγὸς ποταμοὺς στάδιοι ὀγδοήκοντα . . . . εἶτα Καλλίπολις.

«Σηστός, πόλις πρὸς τῇ Προποντίδι. λέγεται δὲ καὶ ἀρσενικῶς παρ' Ἐφόρῳ,(1) οἱ δ' Ἀθηναῖοι «ἐν τῇ Σηστῷ» φασίν.» ε πόλιτης — Στεφ. Βυζαντ. ἐκδ. Aug. Meinekii. Βερο

# Σηστος.

11

Στρ. ΙΓ. 581 « Απο δη της Κυζικηνης και των περι Αίσηπον τόπων και
Γράνικον μέχρι Αβύδου και Σηστου την της Προποντίδος
παραλίαν ειναι συμβαίνη, απο δε Αβύδου μέχρι Λεκτου τα πε-
ρι Ίλιον και Τένεδον και Αλεξάνδρειαν την Τρωάδα. »

" 584 « είρηται δε εν τοις έμπροσθεν, ότι τοις εκ Βυζαντίου πλέου-
σι προς νότον επ' ευθείας εστιν ο πλους, πρώτον επι Ση-
στον και Άβυδον δια μέσης της Προποντίδος, έπειτα της
παραλίας της Ασίας μέχρι Καρίας. »

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Θρᾳκία Χερρόνησος Σηστός.

Γέφυρα ἐν Σηστῷ Ἡροῦς πύργος.

Στρ. 591. 15 « ~~Κα...~~ Ἄβυδος δὲ Μιλησίων ἐστὶ κτίσμα ἐπιτρέ-
ψαντος Γύγου τοῦ Λυδῶν βασιλέως· ἦν γὰρ ἐπ' ἐκείνῳ τὰ
χωρία καὶ ἡ Τρῳὰς ἅπασα, ὀνομάζεται δὲ καὶ ἀκρωτήρι-
όν τι πρὸς Δαρδάνῳ Γύγας· ἐπίκειται δὲ τῷ στόματι
τῆς Προποντίδος καὶ τοῦ Ἑλλησπόντου· διέχει δὲ τὸ ἴσον
Λαμψάκου καὶ Ἰλίου σταδίους περὶ ἑβδομήκοντα καὶ ἑκατόν·
ἐνταῦθα δ' ἐστὶ τὸ ἑπταστάδιον ὅπερ ἔζευξε Ξέρξης, τὸ δι-
εῖργον τὴν Εὐρώπην καὶ τὴν Ἀσίαν· καλεῖται δ' ἡ ἄκρα
τῆς Εὐρώπης Χερρόνησος ἀπὸ τοῦ σχήματος, ἣ ποιεῖ τὰ στε-
νὰ κατὰ τὸ ζεῦγμα· ἀντίκειται δὲ τὸ ζεῦγμα τῇ Ἀβύδῳ.
Σηστὸς δὲ ἀρίστη τῶν ἐν Χερρονήσῳ πόλεων· διὰ δὲ
τὴν γειτνίασιν ὑπὸ τῷ αὐτῷ ἡγεμόνι καὶ αὕτη ἐτέτακτο.
οὔπω ταῖς ἠπείροις διοριζόντων τὰς ἡγεμονίας.
ἡ μὲν οὖν Ἄβυδος καὶ ἡ Σηστὸς διέχουσιν ἀλλήλων τρι-
άκοντά που σταδίους ἐκ λιμένος εἰς λιμένα, τὸ δὲ ζεῦγ-
μα ἐστὶ μικρὸν ἀπὸ τῶν πόλεων παραλλάξαντι ἐξ Ἀ-
βύδου μὲν ὡς ἐπὶ τὴν Προποντίδα, ἐκ δὲ Σηστοῦ εἰς τοὐναν-
τίον· ὀνομάζεται δὲ πρὸς τῇ Σηστῷ τόπος Ἀποβάθρα,
καθ' ὃν ἐζεύγνυτο ἡ σχεδία. ἔστι δὲ ἡ Σηστὸς ἐνδοτέρω
κατὰ τὴν Προποντίδα ὑπερδέξιος τοῦ ῥοῦ τοῦ ἐξ αὐτῆς· δι-
όπερ εὐπετέστερον ἐκ τῆς Σηστοῦ διαίρουσι παραλεξάμενοι
μικρὸν ἐπὶ τὸν τῆς Ἡροῦς πύργον, κἀκεῖθεν ἀφιέν-
τες τὰ πλοῖα συμπράττοντος τοῦ ῥοῦ πρὸς τὴν περαίωσιν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ